## ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον / antispasticum monometrum hypercatalectum

× ⏕ ⏕ ⏑ –

**1.** Tzetz. *de metr. Pind.* 46. 10

ἀντίσπαστος τὸ ἕκτον δὲ καὶ συλλαβὴ ὑπάρχει.

47. 17 sq.

ἑνδέκατον ὁμόχρονον τῷ ἕκτῳ τῆς στροφῆς δε.

Trich. 388. 25 sqq. ὑφίστανται δὲ ἐν τούτῳ τῷ μέτρῳ (*scil.* τῷ ἀντισπαστικῷ) μονόμετρά τε καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα, καὶ μὴν καὶ πεντάμετρα, καταληκτικά, ἀκατάληκτα, ὑπερκατάληκτα· καὶ ταῦτα γὰρ ἀποθέσεις ἔχουσι τρεῖς, ὡς ἔφαμεν, διὰ τὸ ἐκ τετρασυλλάβων συγκεῖσθαι ποδῶν. μονόμετρον μὲν οὖν ἀκατάληκτον <καὶ> καταληκτικὸν οὐ δύναται ὑποστῆναι κατά γε ἐμὲ ἐν τῷ παρόντι μέτρῳ ... 389. 1 sqq. μονόμετρον δὲ ὑπερκατάληκτόν ἐστιν οἷον τό·

φαείνοισά μοι.

τοῦτο δὲ ἐπίσημόν ἐστι πενθημιμερὲς ὀνομαζόμενον, ὅτι τοῦ πέντε τὸ ἥμισυ ἔχει· μετρούμενον γὰρ κατὰ δισυλλαβίαν δύο ἥμισυ δισυλλαβίας εὑρίσκεται ἔχον. τὸ αὐτὸ δὲ καὶ δοχμιακὸν ὀνομάζεται ἢ ἀπὸ ἔθνους οὕτως ὀνομαζομένου ἢ ἀπὸ τοῦ πρώτως αὐτῷ χρησαμένου ἢ παρ᾽ ὅσον, <ὡς> ἔνιοί φασι, πλάγιόν τινα τὸν ῥυθμὸν ἔχει καὶ οὐκ ὀρθότατον.

Et. Magn. 285. 25 sqq. Gaisford εἶδος μέτρου ἀντισπαστικοῦ· ἔστι δὲ μονόμετρον ὑπερκατάληκτον· οἷον· (Eur. *Phoen.* 344)

ἐγὼ δ᾽ οὔτε σοί.

Anon. Harl. 24. 11 sq. μονόμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον· (Pind. *Ol.* 2. 53)

δεδαιδαλμένος.

Anon. Vat. 22 (Pind. *Ol.* 2. 3)

⏑ – – ⏑ . ⏓ .

-σεν Ἡρακλέης

μονόμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον δοχμιακὸν πενθημιμερές.

Schol. vet. in Pind. *Ol.* 1 (p. 2. 2 Tessier) τὸ γʹ ἀντισπαστικὸν δίμετρον (μονόμετρον *Tessier 1995, p. 117*) ὑπερκατάληκτον.

Schol. vet. in Pind. *Ol.* 2 (p. 2. 16 Tessier) τὸ ϛʹ ἀντίσπαστος καὶ συλλαβή … (19) τὸ ιαʹ ὁμόχρονον τῷ ϛʹ τῆς στροφῆς.

Schol. rec. in Pind. *Ol.* 2 (p. 105. 5 sqq. Abel) τὸ ϛʹ ἀντίσπαστος καὶ συλλαβή. ἔν τισι δὲ διαλύεται ὁ ἀντίσπαστος κατὰ τὴν βʹ μακρὰν καὶ γίνεται πεντασύλλαβος ... τὸ ιαʹ ὅμοιον τῷ ϛʹ.

Schol. vet. in Pind. *Pyth.* 5 (p. 17. 22 sq. Tessier) τὸ ζʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον.

Schol. rec. in Pind. *Pyth.* 5 (p. 170. 34 sq. Irigoin) τὸ ζ´ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς.

Schol. rec. in Pind. *Pyth.* 5 (p. 171. 21 sq. Irigoin) τὸ θ´ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον, ἤτοι ἀντίσπαστος καὶ συλλαβῆς.

Schol. in Aesch. *sept*. 78-150b (II 2, p. 49. 27 sqq. Smith) + τὸ ιζʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς … τὸ ιθʹ ὅμοιον τῷ ιζʹ.

Schol. in Aesch. *sept*. 287-303b (II 2, p. 140. 7 sqq. Smith) + τὸ ζʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου καὶ συλλαβῆς· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς καθαρὸν ἔχει τὸν ἀντίσπαστον.

Schol. in Aesch. *sept*. 778-784d (II 2, p. 336. 9 sqq. Smith) + τὸ αʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς, ὃ καλεῖται δοχμαικὸν πενθημιμερές· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον ἔχει τρίτον ἀντὶ τοῦ ἀντισπάστου.

Schol. Byz. in Soph. *Oed. tyr.* 155 (p. 269. 20 sqq. Longo) τὸ η΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς.

Schol. Byz. in Soph. *Oed. tyr.* 649 (p. 274. 18 sq. Longo) τὸ β΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν.

Schol. anon. in Eur. *Or.* 140-207 (p. 11. 17 sqq. Smith) τὸ ιδ΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Hec*. 716-720a (p. 33 de Faveri) τὸ δ΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον … τὸ ς΄ ὅμοιον τῷ δ΄.

Schol. Tricl. in Eur. *Or*. 140-165a (p. 46 de Faveri) τὸ ε΄ ἀντισπαστικὸν μονόμετρον ὑπε[ρκατά]ληκτον καθαρόν.

Schol. Tricl. in Eur. *Or*. 1311-1360 (p. 73 de Faveri) τὸ β΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν.

Schol. Tricl. in Eur. *Or*. 1361-1368a (p. 73 de Faveri) τὸ ε΄ τροχαικὸν πενθημιμερές· εἰ δὲ βούλει ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου δ΄ καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Or*. 1395-1424a (p. 76 de Faveri) τὸ κς΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν.

Schol. Tricl. in Eur. *Or*. 1545-1548a (p. 83 de Faveri) τὸ ζ΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς.

Schol. Tricl. in Eur. *Phoen*. 1284-1306 (p. 115 de Faveri) τὸ η΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ... τὸ ι΄ καὶ ια΄ ὅμοια τῷ ζ΄.

Schol. rec. in Aristoph. *ran*. 605b. 5 sqq. (p. 115 Chantry) τὸ γʹ (v. 666 ἢ γλαυκᾶς μέδεις") ὅμοιον μονόμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον, εἰ δὲ βούλει τροχαικόν.

Schol. rec. in Aristoph. *ran*. 605b. 8 sq. (p. 115 Chantry) ὁ ξ΄ μέντοι ἰαμβικὸς ἐφθημιμερής. εἶτα κῶλον ἀντισπαστικὸν ἐξ ἐπιτρίτου πρώτου ἡμιόλιον, μεθ᾽ ὃ μονόμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου.

Apthon. GL VI 88. 23 sqq. est autem antispasticum monometrum hypercatalectum, quod et dochmiacum dicitur:

volant praepetes.

⏑ – – – ⏓

**2.** Schol. in Aesch. *sept*. 287-303b (II 2, p. 140. 7 sqq. Smith) + τὸ ζʹ ἀντι-

σπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου καὶ συλλαβῆς· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς καθαρὸν ἔχει τὸν ἀντίσπαστον.

Schol. in Aesch. *sept*. 766-771b (II 2, p. 330. 25 sqq. Smith) + τὸ εʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐκ δισπονδείου καὶ συλλαβῆς· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον ἔχει πρῶτον.

Schol. Byz. in Soph. *Oed. tyr.* 665 (p. 275. 23 sqq. Longo) τὸ θ´ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου α´ ἀντὶ (om. *Longo*) ἀντισπάστου καὶ συλλαβῆς.

– – – – –

**3.** Schol. in Aesch. *sept*. 766-771b (II 2, p. 330. 25 sqq. Smith) + τὸ εʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐκ δισπονδείου καὶ συλλαβῆς· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον ἔχει πρῶτον.

– – ⏑ – –

**4.** Schol. in Aesch. *sept*. 778-784d (II 2, p. 336. 9 sqq. Smith) + τὸ αʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς, ὃ καλεῖται δοχμαικὸν πενθημιμερές· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον ἔχει τρίτον ἀντὶ τοῦ ἀντισπάστου. [*P.S.*]